**[Hekabe spricht ➜ Menelaos]**

Ταῖς θεαῖς πρῶτον σύμμαχος γενήσομαι

καὶ τήνδε δείξω μὴ λέγουσαν τἀληθές.

**[Hekabe ➜ Helena]**

Εἶπες

τὰς θεὰς εἶναι αἰτίας τοῦ ἄλγους·

οὐ μὴν,

ἀλλ΄ ἐγὼ

῞Ηραν καὶ παρθένον Παλλάδα

οὐκ εἰς-τοσοῦτον-ἀμαθίας ἐλθεῖν

δοκῶ.

τίνος γὰρ ἕνεκ΄ ἂν θεὰ ῞Ηρα ἔσχε

τοσοῦτον-ἔρωτα-κάλλους;

ἆρα μὴ βούλεται λαβέσθαι ἄνδρα ἀμείνονα Διός;

μὴ ἀμαθεῖς ποίει θεὰς

τὸ-σὸν-κακὸν κοσμοῦσα.

ἰδοῦσα δὲ τὸ-τοῦ-εὐφυοῦς-Πάριδος-κάλλος
σαυτὴν ἐποιήσω Κύπριν.
τὰ μῶρα γὰρ πάντ´ ἐστὶν ᾿Αφροδίτη ἀνθρώποις.
εἶεν·
εἶπες οὖν
    ἐμὸν παῖδα βίᾳ σ[ε] ἄγειν·
τίς Λακεδαιμονίων ᾔσθετο;
ποίαν ἐβόησας βοήν;
ἔγω γε σοὶ σύμμαχον ποιοῦσα ἐμαυτὴν
ἔλεγον πολλάκις·
    "ὦ θύγατερ,
    ἔξελθε καὶ παῦσον μάχης
    Ἕλληνας δυστυχεῖς ἡμᾶς τε."
ἀλλὰ σοὶ τόδ´ ἦν πικρόν.

**[Hekabe wieder ➜ Menelaos]**

Μενέλαε,

τιμώρει Ελλάδι,

ὡς ἄξιόν ἐστι,

τήνδε σαυτοῦ ἀποκτείνας,

νόμον-δὲ-τόνδε ταῖς ἄλλαις θὲς γυναιξίν·

ὀφείλει ἀποθνῄσκειν

ἡ διαφθείρασα ἑαυτῆς οἶκον καὶ γάμον.